www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΝΙΚΑΝΟΡΟΣ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

*(οὗ ἡ μνήμη τῇ 7ῃ Αὐγούστου)*

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 2006 *

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



## ΤΗι Ζ΄ ΤΟΥ ΜΗΝΟΣ ΑΥΓΟΥΣΤΟΥ
## ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
## ΝΙΚΑΝΟΡΟΣ ΤΟΥ ΖΑΒΟΡΔΗΝΟΥ

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Ἱστῶμεν στίχ.Ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.*
*Ἦχος α΄ Τῶν οὐρανίων ταγμάτων.*

Καρπὸς εὐχῆς ἐπιμόνου,
ἐδόθης, Ὅσιε,
παρὰ τοῦ Πλαστουργέτου,
εὐλαβέσι γονεῦσι,
καὶ ἔσχες ἀπὸ βρέφους,
σημεῖα πολλά,
προμηνύοντα μέλλον σου·
τῶν γὰρ ἁγίων ἀνθρώπων πᾶσα ζωή,
ἐκ Θεοῦ προκαταβάλλεται.

Οὔτε γονέων ὁ πόθος,
οὔτε τοῦ κόσμου τρυφή,
ἐξίσχυσαν, Νικάνορ,
ἐξαλεῖψαι ψυχῆς σου,
τὸν ἔρωτα Κυρίου ὑφ’ οὗ πυρωθείς,
οὐδαμῶς ἔσχες ἄνεσιν,
ἀλλ’ ὥσπερ ἔλαφος ἔδραμες εἰς πηγάς,
φιλερήμους, ὁσιώτατε.

Καλὴν στρατείαν προείλου,
ἄρσιν σταυροῦ θαυμαστῶς,
διὸ ἐν Καλλιστράτῳ,
ὄρει εὗρες, Νικάνορ,
τὴν θείαν καλιάν σου,
ἐν ᾧ ὡς στρουθός,
τῷ Χριστῷ ἀφιέρωσαι,
ἀσκητικῶς πολεμήσας τὸν πονηρόν,
καὶ λαβὼν βραβεῖα ἄφθαρτα.

Τροπαιοφόρου σπηλαίῳ,
τὸ πρῶτον ᾤκησας,
εἶτα δὲ τῷ Σωτῆρι,
ἐδομήσω σὴν μάνδραν,
φωτὶ ἀκτίστῳ, μάκαρ, περιλαμφθείς,
ὡς ἐν ὄρει ἀπόστολοι,
τῷ Θαβωρίῳ διόπερ καθηγητής,
μοναστῶν πληθύος γέγονας.

Χαριτωθεὶς ὑπερμέτρως,
πλοῦτον τῆς Χάριτος,
ἐν σῇ ψυχῇ συνῆξας,
ὦ Νικάνορ τρισμάκαρ,
διὸ τοῖς προσιοῦσιν ἐδίδως ἁπλῶς,
τὰ ἑκάστῳ προσήκοντα,
καὶ γὰρ οὐ δύναται πόλις ἐν ὑψηλῷ,
ὄρει κρύψαι τὰ χαρίσματα.
Τῶν δωρεῶν τῶν ἀκτίστων,
καὶ μετὰ θάνατον,
Νικάνορ, διανέμεις,
πατρικῶς ἐνεργείας,
ἐν γὰρ τοῖς σοῖς λειψάνοις θαυματουργεῖς,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ παρέχεις ἰάματα,
καθάπερ πάλαι ἐκ νόσου θανατικῆς,
Καστορίας βρέφη ἔσωσας.

*Δόξα. Ἦχος πλ.β'*

Τῆς τοῦ Χριστοῦ ἀγάπης τὸ πῦρ λαβὼν ἐν ψυχῇ,
ὅλος Αὐτῷ ἀπὸ νηπίου ἀφιερώθης,
Νικάνορ παμμακάριστε·
καὶ ἅπερ πείρᾳ μεμάθηκας θείᾳ,
ὡς διδάσκαλος σοφώτατος,
τοῖς μαθηταῖς σου παρέδωκας ὡς ὑπέρτιμον κλῆρον.
Τῆς δὲ θαυματουργίας τὸ χάρισμα πλουτήσας,
κοινὸς ἐφάνης εὐεργέτης,
τῶν προσκυνούντων ἐν πόθῳ τὰ σεπτά σου λείψανα.
Ὅθεν καὶ οἱ Καστοριεῖς τὴν πάλαι εὐεργεσίαν σου
μιμνησκόμενοι,
τὴν μνήμην σου πανηγυρίζοντες λαμπρῶς,
αἰτούμεθα πρεσβεύειν ὑπὲρ ἡμῶν πρὸς Κύριον διηνεκῶς,
Ὅσιε φιλότεκνε.

*Καὶ νῦν, ὁμόηχον. Τῆς ἑορτῆς.*
Προτυπῶν τὴν ἀνάστασιν…

*Εἴσοδος. Φῶς ἱλαρόν.*
*Προκείμενον μέγα. Ἦχος βαρύς.*

Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα
ἠθέλησεν ἐποίησεν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἀναγνώσματα ὁσιακά*

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*
*(Κεφ. 3, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν, αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτὸν συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*
*(Κεφ. 5, 15-23 & 6, 1-3)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς

παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

### *Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*
### *(Κεφ. 4, 7-15)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστὶ φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

*Ψάλλομεν στιχηρὰ ἰδιόμελα*
*Ἦχος α΄*

Τῆς τοῦ Δεσπότου εὐμενείας πρὸς σὲ
ἀπὸ συλλήψεως τὰ σημεῖα θαυμαστῶς περιφέρων,
ὅσιος καὶ ἀμίαντος ἐπορεύθης ἐν τῷ βίῳ σου παντί,
πάτερ Νικάνορ παμμακάριστε·
τοῦ γὰρ προσθετικοῦ θείου ἔρωτος ἐργάτης ἀναδειχθείς,
πολλῶν θεοφανειῶν ὡς ἄξιος ἐγένου μέτοχος.
Ὅθεν ταῖς πρεσβείαις σου ἀξίωσον καὶ ἡμᾶς,
τοῦ φιλανθρώπου ἐλέους τοῦ ἠγαπημένου σοι Ἰησοῦ.

*Ἦχος β΄*

Καλὴν στρατείαν ἐπιλεξάμενος, τοῦ μονοτρόπου βίου τὴν ἄρσιν,
ὡς οἱ Ἀπόστολοι τὸ πάλαι, Νικάνορ θεομακάριστε·
τοῦ Καλλιστράτου ὄρους, μυστικὸς δενδροκόμος ἀνεφάνης,
πολλὰς ψυχὰς ὡς θυσίας ἱερὰς τῷ Κυρίῳ ἀνενέγκας τῇ ὁδηγίᾳ σου·
καὶ τῇ ἀσκήσει σου ἀγῶνας προσεπιβάλλων πανσόφως,
πολυκαρπίᾳ ἀρετῶν τοὺς οὐρανοὺς ἐκληρονόμησας.
Διὸ καὶ τοὺς τιμῶντάς σου τὴν μνήμην τὴν ἱεράν,
ἀπόδος, πάτερ, τὸν μισθὸν ὡς φιλότεκνος.

*Ἦχος γ΄*

Τὸ κατ’ εἰκόνα σου τηρήσας, πάτερ, ἄσπιλον,
τοῦ Μεταμορφωθέντος τὴν κατεχωσμένην εἰκόνα,
κατηξίωσαι εὑρεῖν ἐν ἀποκαλύψει.
Καὶ τὴν Μονήν σου τὴν σεβασμίαν δομησάμενος,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὡς ἄλλο τι Θαβὼρ ταύτην ἀνέδειξας,
ἐν ᾗ τὰ πλήθη τῶν μοναχῶν σου,
τὴν καθαρτικὴν καὶ θεωτικὴν ὁδὸν ἐπορεύθησαν.
Ὅθεν καὶ ἡμᾶς καταξίωσον τυχεῖν,
Νικάνορ πάτερ ὁσιώτατε,
τοῦ ἀκτίστου φωτὸς τῆς Βασιλείας Χριστοῦ.

*Ἦχος δ'*

Τὴν τοῦ Ἁγίου Πνεύματος τὴν χάριν ἐπενδυσάμενος,
ταύτην καὶ τοῖς λειψάνοις σου ἀνεκφοιτήτως διαμένουσαν,
τοῖς προσιοῦσι μετὰ πίστεως,
ἀφθονοπαρόχως μεταδίδως, πάτερ Νικάνορ.
Ἧς καὶ τῆς Καστορίας οἱ χριστώνυμοι θαυματουργικῶς ἀξιωθέντες,
ἐν ὑμνῳδίαις εὐγνώμοσι, τὴν ὀφειλήν σοι ἀποδιδόαμεν,
αἰτούμενοι διαφυλάττειν πάντοτε ἀδιαλωβήτους ἡμᾶς,
ἐκ τῶν σκανδάλων τοῦ πολεμήτορος ἐχθροῦ,
ταῖς πατρικαῖς πρὸς τὸν Σωτῆρα ἱκεσίαις σου.

*Δόξα. Ἦχος πλ.α'*

Τῆς πρὸς τὸν Κύριον καὶ τὸν πλησίον ἀγάπης πληρωτής,
ἀποδειχθείς, ὁσιώτατε πάτερ Νικάνορ,
τὸ μὲν ἠξιώθης μυστικῶν θεωριῶν καὶ ἀπολαύσεων,
τὸ δὲ ἀνεφάνης θαυματουργὸς ἐν φιλαδελφίᾳ.
Ὅθεν τὴν τῶν σεπτῶν σου λειψάνων τιμίαν θήκην,
ὡς ζωοδόχῳ πηγῇ προσπελάζοντες,
λαμβάνομεν ἕκαστος πλουσίως τὴν δωρεάν,
κατὰ τὴν ἰδίαν πίστιν καὶ ἀνάγκην,
ἐξαιτούμενοι ἀπὸ καρδίας θερμῶς,
ὅπως ἀξιώσῃς καὶ ἡμᾶς τοὺς ἁμαρτωλούς,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῆς μετὰ τοῦ Μεταμορφωθέντος παραστάσεως.

*Καὶ νῦν. Τῆς ἑορτῆς. Δεῦτε ἀναβῶμεν…*

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

*Στιχηρὰ προσόμοια. Ἦχος πλ.α' Χαίροις ἀσκητικῶν.*

Χαίροις, Νικάνορ θεῖε πατήρ,
δῶρον εὐχῆς τοῖς ἀτεκνοῦσι γονεῦσί σου,
ὁ Κύριον νηπιόθεν,
ἐπιποθήσας σφοδρῶς,
καὶ σαὐτὸν τηρήσας καθαρώτατον,
δοχεῖον τοῦ Πνεύματος,
ἐργασίαις ἀσκήσεως,
ὡς ἐν ἐρήμῳ,
μετὰ ταῦτα ἐπάλαισας,
πρὸς ἀρχέκακον,
ὃν τελείως ἐνίκησας·
πάγκαλλος ὑποτύπωσις,
τῶν ὅσοι ἀνέλαβον,
σταυρὸν ἀσκήσεως ὤμοις,
καὶ τῷ Χριστῷ συνεσταύρωνται,
πυξὶς σωτηρίας,
ὁδηγῶν ἐν ἀσφαλείᾳ,
τοὺς σὲ γεραίροντας.

*Στίχ. Ὑπομένων τὸν Κύριον καὶ προσέσχέ μοι.*

Χαίροις, ὁ τῆς στρατείας Χριστοῦ,
φανεὶς ἀξίως πρακτικὸς ἀρχιστράτηγος,
τοῦ ὄρους τοῦ Καλλιστράτου,
κοινοβιάρχης λαμπρός,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ Μονῆς Ζαβόρδης,
βάσις ἄσειστος·
σῆς ποίμνης ὁ ἔξαρχος,
καὶ σοφώτατος σίταρχος,
πάτερ Νικάνορ,
Μακεδόνων τὸ στήριγμα,
Καστορίας τε,
πολιοῦχος ὑπέρτιμος·
ἣν ταῖς σεπταῖς πρεσβείαις σου,
ἀείποτε φύλαττε,
ἐκ πειρασμῶν πολυτρόπων,
καὶ ἐν Χριστῷ ἐπαυξάνουσαν,
αὐτὴν δὲ οἰκοῦντας,
καταξίωσον γενέσθαι,
Ἐδὲμ οἰκήτορας.

*Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Χαίροις, Νικάνορ θεῖε πατήρ,
ὁ τῶν θαυμάτων εἰληφὼς τὴν ἐνέργειαν,
καὶ ζῶν καὶ μετὰ θανήν σου,
ὡς τῶν Χριστοῦ ἐντολῶν,
τηρητὴς καὶ φύλαξ,
ἀκριβέστατος.
Διὸ ἡ τοῦ Πνεύματος,
θεία χάρις ἐνῴκησε,
τοῖς σοῖς λειψάνοις,
καὶ παρέχει ἰάματα,
τοῖς προστρέχουσι,
μετὰ πόθου καὶ πίστεως.
Ὅθεν ἡμᾶς ἀξίωσον,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

φιλότεκνε Ὅσιε,
ἀσπαζομένους σὴν θήκην,
εὑρεῖν Κυρίου τὸ ἔλεος,
καὶ πάσης ἀνάγκης,
λυτρωθῆναι ταῖς εὐχαῖς σου,
πρὸς τὸν Φιλάνθρωπον.

*Δόξα. Ἦχος ὁ αὐτός.*

Συνανελθὼν τῷ Σωτῆρι μυστικῶς εἰς τὸ ὄρος τῶν ἀρετῶν,
τῆς θείας ἐπιλάμψεως τοῦ ἀκτίστου φωτός ἠξιώθης,
Νικάνορ ἀξιόθεε πάτερ.
Ὅθεν καὶ ἐν τῇ ἡμέρᾳ τῆς Μεταμορφώσεως γῆθεν μεταστάς,
ἔχεις πλουσιοδώρως,
ἅπερ ἐνταῦθα ἐν ἐλπίδι ἐκαρτέρεις.
Διὸ ὡς παῤῥησίαν κεκτημένος, ὁσιώτατε,
πρέσβευε τῷ Μεταμορφωθέντι ἐν τῷ Θαβώρ,
τυχεῖν καὶ τοὺς ὑμνοῦντάς σε,
τῆς Βασιλείας τῶν οὐρανῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς.* Τῆς θεότητός σου, Χριστέ…

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

*Ἀπολυτίκιον, τὸ σύνηθες καὶ ἕτερον εἰδικόν.*
*Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ὡς βρέφη διέσωσας τῆς Καστορίας ποτέ,
Νικάνορ πανόσιε, οὕτω καὶ νῦν πειρασμῶν,
ἡμᾶς διαφύλαττε·
φόβον τὸν τοῦ Κυρίου,

ταῖς καρδίαις ἐμβάλλων,
καὶ τῶν ἁμαρτημάτων,
τὴν ἀχλὺν ἐκδιώκων,
ἵνα πανευγνωμόνως σου,
μνήμην δοξάζωμεν.

*καὶ τῆς ἑορτῆς· Μετεμορφώθης…*

*καὶ Ἀπόλυσις*

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α΄ στιχολογίαν. Κάθισμα. Ἦχος γ΄.Τὴν ὡραιότητα.*

Λαμπρὸν εἰκόνισμα,
θείας ἀσκήσεως,
καὶ οἶκος πάντερπνος,
φωτὸς γεγένησαι,
ὡς τῷ ἐν ὄρει τῷ Θαβώρ,
Νικάνορ, προσομιλήσας·
ὅθεν κατεφώτισας,
διδαχαῖς καὶ τῷ βίῳ σου,
τοὺς προσερχομένους σοι,
νῦν δὲ βρύεις ἰάματα,
τοῖς πόθῳ προσκυνοῦσι τὴν θήκην,
σῶν ἱερῶν λειψάνων, Ὅσιε.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς, ὅμοιον.*

Τῆς θείας δόξης σου,
ὄντως ἀπαύγασμα,
καθὼς ἠδύναντο,
ἔδειξας, Λόγε Θεοῦ,

τοῖς μαθηταῖς σου ἐν Θαβώρ,
ὄρει μεταμορφούμενος·
οἷς συνελλαμφθείημεν,
καὶ ἡμεῖς οἱ ὑμνοῦντές σε,
μόνε ἀναλλοίωτε,
Ἰησοῦ παντοδύναμε,
καί πίστει σοι συμφώνως βοῶντες·
δόξα, Χριστέ, τῇ βασιλείᾳ σου.

*Μετὰ τὴν β' στιχολογίαν. Κάθισμα. Ἦχος δ'. Ἐπεφάνης σήμερον.*

Καλλιστράτου ἔρεισμα,
καὶ τῆς Ζαβόρδης,
κτίτωρ θεῖος γέγονας,
πάτερ Νικάνορ θαυμαστέ,
τῆς Καστορίας δὲ ἔσωσας,
ἄκακα βρέφη,
θανάτου πρεσβείας σου.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς, ὅμοιον.*

Ἑορτὴ ὑπέρλαμπρος,
ἡ τοῦ Δεσπότου,
ἦλθε δεῦτε ἅπαντες,
ἐπὶ τῷ ὄρει νοερῶς,
προκαθαρθέντες ἀνέλθωμεν,
τῷ Θαβωρίῳ,
Χριστὸν ἐποψόμενοι.

*Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.α'. Τὸν συνάναρχον Λόγον.*

Προσευχῇ καὶ νηστείᾳ διῆλθες, Ὅσιε,
τὸν σὸν βίον διόπερ Χριστὸς ἐδόξασε,
καὶ ἐν σώματι θνητῷ καὶ μετὰ θάνατον,
ὡς χαρίτων μυστικῶν,
κληρονόμον τῶν Αὐτοῦ·
διόπερ τῆς Καστορίας,
Νικάνορ, πόλιν φυλάττοις,
ἐκ πειρασμῶν καὶ πάσης θλίψεως.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς, ὅμοιον.*

Ὁ ὁμότιμος Λόγος Πατρὶ καὶ Πνεύματι,
σαρκωθεὶς ἐκ Παρθένου,
εἰς σωτηρίαν ἡμῶν,
ἀνεστράφη τοῖς ἐν γῇ,
καθάπερ γέγραπται,
καὶ ἀνελθὼν ἐν τῷ Θαβώρ,
σὺν προκρίτοις μαθηταῖς,
ἐνδόξως μετεμορφώθη·
διὸ ὑμνοῦμεν αὐτοῦ τὴν θείαν,
καὶ παναγίαν συγκατάβασιν.

*Οἱ Ἀναβαθμοί. Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.* Ἐκ νεότητός μου.
*Προκείμενον.* Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.
*Στίχος. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν.*

***Εὐαγγέλιον***. Τὸ ὁσιακόν· τοῦ Ὄρθρου τοῦ ὁσίου Σάββα.
*Ὁ Ν΄.* Ἐλέησόν με ὁ Θεός...
*Δόξα.* Ταῖς τοῦ σοῦ Ὁσίου.
*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Στίχ. Ἐλέησόν με ὁ Θεός.*

*Ἰδιόμελον. Ἦχος πλ.β.΄*

Ὡς τρίαθλον ἀγῶνα νικήσαντα ἀνδρικῶς,
καὶ τῆς χαρᾶς τοῦ Παραδείσου ἀξιωθέντα ἐπαξίως,
τιμῶντές σε, Νικάνορ παμμακάριστε,
αἰτούμεθα παρασχεῖν ταῖς πρεσβείαις σου,
καὶ ἡμῖν τὸ μέγα ἔλεος.

**Ὁ Κανὼν τῆς ἑορτῆς καὶ εἶτα τοῦ Ὁσίου,οὗ ἡ ἀκροστιχίς:**
*«Καστοριέων δέχοιο εὐχαριστίαν πάτερ. Ἀ(θανάσιος)».*
Ὠιδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Κοινὴν δέξαι, Ὅσιε,
εὐχαριστίαν καὶ αἴνεσιν,
ἣν πάντες προσάγουσι,
Καστοριεῖς εὐλαβῶς,
δι΄ ἣν ἔδειξας,
τρανὴν εὐεργεσίαν,
θανάτου τὸν ὄλεθρον,
παύσας πρεσβείαις σου.

Ἁρπάσας τὸ δρέπανον,
δι΄ οὗ ὁ ᾅδης ἐθέριζεν,
Νικάνορ μακάριε,
τοῦτο κατέσπασας,
καὶ διέσωσας τὴν πόλιν Καστορίας,
ὑμνοῦσάν σου ἔκτοτε,
χάριν φιλότεκνον.
Σωτῆρος ἐκτύπωμα,
πάτερ Νικάνορ, γενόμενος,

τοῦ σῴσαντος ἄνθρωπον,
ὄντως ἠγάπησας,
τὸν πλησίον σου,
διὸ καὶ Καστορίας,
κατοίκους διέσωσας,
σὲ ἱκετεύσαντας.

Θεοτοκίον

Τριάς σε ἀνύψωσεν,
Θεοκυῆτορ Πανάμωμε,
τεκοῦσαν ὡς ἄνθρωπον,
Λόγον τὸν ἄναρχον·
ὅθεν εἴληφας,
Αὐτῆς τὰ δευτερεῖα,
πρεσβεύουσα πάντοτε,
ὑπὲρ τῶν δούλων σου.

Ὠιδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Ὁ ῥοῦς ἔστη, πάτερ, τοῦ θανάτου,
θερίζων πιστοὺς Καστοριεῖς,
ὅτε πρὸς σὲ κατέφυγον,
καὶ πρέσβυν ἀκαταίσχυντον,
πρὸς τὸν Χριστὸν προέβαλον,
ἀνάγκῃ περισφιγγόμενοι.

Ῥυόμενος, Πάτερ, μὴ ἐλλίπῃς,
ἀείποτε τοὺς Καστοριεῖς,
πρεσβείαν αἰτουμένους σου,
ἐν συμφοραῖς καὶ θλίψεσιν,
ἐκ τῆς πικρᾶς στενώσεως,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

πρὸς πλάτος ἄγων ἀνέσεως.

Ἰώμενον νόσους βροτοφθόρους,
Χριστὸς ἔδειξέ σε ἰατρόν,
Νικάνορ παμμακάριστε,
βραβεύσας τοὺς ἀγῶνάς σου,
καὶ τείνει οὖς εὐήκοον,
ταῖς πατρικαῖς μεσιτείαις σου.

Θεοτοκίον

Ἐλέησον, Μῆτερ, τὸν λαόν σου,
ἐκ πάσης τοῦ βίου συμφορᾶς,
εἰρήνην ἀκατάσειστον,
τοῦ Ἰησοῦ παρέχουσα,
καὶ πρὸς ὁδόν ἰθύνουσα,
Καστοριεῖς ταῖς πρεσβείαις σου.

Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Δόξα. Καὶ νῦν, τῆς ἑορτῆς, ὅμοιον.

Ὠιδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ὥς ποτε ἐν τῇ ἐρήμῳ,
οἱ Ἑβραῖοι κατέπιπτον,
ἐκ πικροῦ θανάτου,
καὶ Καστοριεῖς ἐθερίζοντο,
ἀλλά, Νικάνορ, εὐχάς σου αἰτησάμενοι,
ἐλυτρώθησαν,
δοξολογοῦντες τὸν Κύριον.


ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νίκην ἔχων φερωνύμως,
νικητὴς ἀναδέδειξαι,
κατὰ διαβόλου,
ἔτι ἐν σαρκὶ πορευόμενος·
καὶ μετὰ πότμον, Νικάνορ, κατενίκησας,
ἀφανίζοντα,
Καστοριεῖς πικρὸν θάνατον.

Δῆσον, ὅσιε Νικάνορ,
σαῖς εὐχαῖς τὸν ἀλάστορα,
κατὰ τῶν σῶν τέκνων,
αἴροντα ὑπέροφρυν καύχησιν,
καὶ ὡς στρουθὸν ἀλαζόνα καὶ ἀνίσχυρον,
δεῖξον δύναμιν,
ἡμῖν παρέχων τοῦ Πνεύματος.

Θεοτοκίον

Ἐν νυκτί τε καὶ ἡμέρᾳ,
πρὸς σὲ ὄμματα αἴρομεν,
μητρικήν σου χάριν,
Πάναγνε, πιστῶς ἐξαιτούμενοι,
τὴν σωτηρίας ἐλπίδα ἀναθέμενοι,
ταῖς πρεσβείαις σου,
πρὸς τὸν Φιλάνθρωπον Κύριον.

Ὠιδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Χαρὰ διεδέξατο,
τὸ πένθος, Ὁσιώτατε,
ὅτε ἡ σκιὰ ἐξηφανίσθη,
πικροῦ θανάτου καταθερίζοντος,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

δῆμον Καστορίας ἀδεῶς,
πίστει ἐξαιτήσαντος,
τὰς εὐχάς σου πρὸς Κύριον.

Οὐδέν σοι λογίζεται,
Νικάνορ, νῦν ἀδύνατον,
χάριν τοῦ Θεοῦ ἐνδεδυμένῳ·
ὅθεν θανάτου,
νέφη διώκονται,
χεῖρας αἴροντός σου πρὸς Χριστόν,
Ὃν τρανῶς ἐδόξασας,
ἐπὶ γῆς θείῳ βίῳ σου.

Ἰθύνων πρὸς Κύριον,
μὴ παύσῃ τὰς ὁδοὺς ἡμῶν,
ὦ φιλοτεκνότατε Νικάνορ,
καὶ μετανοίας,
πύλας διάνοιξον,
ἵνα καρποφόρως τὴν ζωήν,
ἅπαντες μετέλθωμεν,
καὶ Ἐδὲμ ποθητῆς ἐπιτύχωμεν.

Θεοτοκίον

Ὁ θάνατος, Δέσποινα,
τῷ Τόκῳ σου ἀπώλετο,
καὶ ζωὴ τῷ γένει τῶν ἀνθρώπων,
κατεβραβεύθη·
ὅθεν ὑμνοῦμέν σε,
ὡς παντευεργέτιδα ἡμῶν,
πάντοτε παρέχουσαν,
τοῖς πιστοῖς προστασίαν σου.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Ὠιδὴ ϛ'. Τὴν θείαν ταύτην.

Ἐθραύσθη δρέπανον, Ὅσιε,
Νικάνορ, τοῦ θανάτου πρεσβείαις σου,
καὶ διεσώθησαν,
Καστοριεῖς ἀγαλλόμενοι,
καὶ τὴν εὐεργεσίαν ἐκδιηγούμενοι.

Ὑπάρχεις τεῖχος ἀκράδαντον,
Νικάνορ, ἐν ᾧ σῴζονται ἅπαντες,
οἱ πολεμούμενοι,
καὶ ἐν κινδύνοις κυκλούμενοι,
καθὼς Καστοριέων ὁ δῆμος σέσῳσται,

Χεῖράς σου τεῖνον πρὸς Κύριον,
Νικάνορ, καὶ τὴν χάριν καθέλκυσον,
Ἁγίου Πνεύματος,
ὅπως θανάτου ὁ πέλεκυς,
μὴ ἔλθῃ αἰφνιδίως ἐπὶ τοὺς δούλους σου.

### Θεοτοκίον

Ἀνοικτιρμόνως πιέζει με,
ὦ Δέσποινα, ἐχθρὸς ὁ μισόψυχος,
ζητῶν πιάσαι με,
ὥσπερ πτηνὸν τὸν ταλαίπωρον,
διὸ σπεύσασα ῥῦσαι τῆς ἀπωλείας με.

*Κοντάκιον.*
*Ἦχος δ' Ὁ ὑψωθείς.*

Τοῦ Καλλιστράτου ἀσκητὴς θεοφόρος,

καὶ τῆς Μονῆς Ζαβόρδης κτίτωρ ἐφάνης,
Νικάνορ παμμακάριστε, ἐν χρόνοις σκοτεινοῖς·
τῆς δὲ εὐφημούσης σε Καστορίας προστάτης,
πέφηνας ὡς ἔσωσας,
λοιμικῆς βρέφη ταύτης,
διὸ βοᾷ σοι, Πάτερ, ἐκ ψυχῆς·
ἐμὲ οἰκοῦντας,
ἀείποτε φύλαττε.

***ὁ Οἶκος***

Ὅτε σκότος δουλείας ἐξήπλωται,
καὶ ἡ πίστις Χριστοῦ ἐδιώκετο,
τότε, πάτερ Νικάνορ, Θεός σε ἀνέδειξε,
φῶς ἐκ τοῦ φωτὸς Αὐτοῦ καταλάμποντα.
Ὅθεν μοναστῶν τε διδάσκαλος γέγονας,
καὶ πιστῶν ἐμπεριστάτων καταφύγιον εὐλίμενον.
Τῇ θαυματουργίᾳ δὲ τῇ ἐκ Κυρίου σοι δοθείσῃ,
πολλῶν καρδίας ἐκλελυμένας,
ἐν φιλαδελφίᾳ καὶ ἀγάπῃ ἀνώρθωσας,
ὥσπερ καὶ τῆς πόλεως Καστορίας τὰ εἰς θάνατον νοσοῦντα βρέφη,
τῇ σῇ μεσιτείᾳ ὑπερφυῶς ἐζωογόνησας.
Διὸ εὐγνωμόνως τὴν μνήμην σου σήμερον γεραίρουσα,
ἱκετικῶς προσπίπτουσα κραυγάζει σοι·
θεῖέ μου καὶ ἀκαταίσχυντε προστάτα,
ἐμὲ οἰκοῦντας,
ἀείποτε φύλαττε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## *Συναξάριον*

Τῇ ζ' τοῦ μηνὸς Αὐγούστου τὴν μνήμην ἐπιτελοῦμεν τοῦ ἐν ὁσίοις πατρὸς ἡμῶν Νικάνορος τοῦ θαυματουργοῦ, Κτίτορος τῆς Ἱερᾶς Μονῆς Μεταμορφώσεως τοῦ Σωτῆρος, τῆς ἐπικεκλημένης Ζάβορδα καὶ πολιούχου ὄντος καὶ προστάτου τῆς πόλεως ἡμῶν Καστορίας, ὡς τὰ νήπια ταύτης διασώσαντος θαυματουργικῶς τὸ πάλαι ἐκ θανατηφόρου λοιμοῦ τῇ πρὸς Κύριον μεσιτείᾳ αὐτοῦ.

Στίχοι

*Ὁ Καστορίας νήπια σώσας, πάτερ,*
*Πάθη ἡμῶν νήπια κτεῖνον, Νικάνορ.*
*Νικάνορ' εὐφημοῦμεν Καστοριεῖς ἐν ἑβδόμῃ.*

*καὶ τὰ λοιπὰ τοῦ Συναξαρίου.*

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠιδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Ῥητορεύουσι
τὰ θαύματά σου, Ὅσιε, ἅπερ πεποίηκας,
τὴν ἐν Χριστῷ ἀρετήν,
δι' ἧς οἶκος γέγονας Ἁγίου Πνεύματος,
καὶ κατίσχυσας,
τῶν νόμων τῶν τῆς φύσεως,
ὡς βιοὺς ὑπὲρ τὴν φύσιν.

Ἱκετεύομεν,
τὰ τέκνα σου, πανόσιε,

πάντοτε μνήσθητι,
ἀδυναμίας ἡμῶν,
καὶ ταύτην ἐνίσχυσον ὅπως νικήσωμεν,
τὸν ἀντίπαλον,
ὅστις ἐπιβουλεύεται,
σωτηρίαν αἰωνίαν.

Σῶσον αὖθίς τε,
τὴν Καστορίαν, ἥτις σου,
γεραίρει πάντοτε,
χρεωστικῶς ἐν χαρᾷ,
τὸ μέγα θαυμάσιον δι᾽ οὗ ἐξήγαγες,
τὸν λαὸν αὐτῆς,
φθορᾶς θανάτου, Ὅσιε,
ταῖς ἁγίαις σου πρεσβείαις.
Θεοτοκίον

Τρέμω, Δέσποινα,
τὸ ἔσχατον κριτήριον,
ὅπερ στηθήσεται,
ὑπὸ δικαίου Κριτοῦ,
καὶ ἅπερ πεπράχαμεν φανερωθῶσιν ἐκεῖ·
ὅθεν δέομαι,
παράστηθι μεσῖτίς μου,
καὶ γεέννης λύτρωσαί με.

Ὠιδὴ η'. Παῖδας εὐαγεῖς.

Ἱερῶν λειψάνων σου ἡ θήκη,
Νικάνορ, ἐκβλύζει θεῖα ὕδατα,
τοῖς πιστῶς προστρέχουσιν,
ἀσθενείας λύουσα,

καὶ τὴν χαρὰν παρέχουσα,
ἐκ βίου θλίψεων,
θανάτου τε φθορᾶς ἀπαλλάττει,
ὥσπερ Καστορίαν, διέσωσε τὸ πάλαι.

Ἅπερ ἐδωρήσατο Χριστός σοι,
Νικάνορ, χαρίσματα τοῦ Πνεύματος,
μεταδίδως ἅπασιν,
ὡς πιστὸς διάκονος,
διώκων ἀσθενήματα,
ψυχῆς καὶ σώματος,
καὶ σκότους τὴν ἀχλὺν διαλύων,
νοερᾷ ἐμπνεύσει,
ἱκεσιῶν σου θείων.

Νικητοῦ θανάτου υἱὸς πέλων,
Χριστοῦ ἀναστάντος ἐκ νεκρῶν,
Νικάνορ πανσεβάσμιε,
νικᾷς σώματος θάνατον,
καὶ χορηγεῖς τοῖς μέλπουσι,
ζωὴν αἰώνιον,
ὡς ἔχων παῤῥησίαν μεγίστην,
πρὸς τὸν Ζωοδότην,
ᾗ χρῷ ὑπὲρ σῶν τέκνων.

Θεοτοκίον

Ποίοις ἐγκωμίοις ἐπαξίοις,
τιμήσωμεν δόξαν σου, Ἁγνή,
ὅτι ναὸς γεγένησαι,
Λόγου Θεοῦ, Ὃν φρίττουσιν,
ἐπουρανίων τάγματακ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

διὸ τό, Χαῖρέ σοι,
βοῶμεν ἀσιγήτως αἰτοῦντες,
τὴν πρὸς τὸν Υἱόν σου,
ἀκοίμητον πρεσβείαν.

## Ὠιδὴ θ'. Ἅπας γηγενής.

Ἄλλης βιοτῆς,
ὑπάρχων συμέτοχος,
Νικάνορ ὅσιε,
καὶ ἀέρα Πνεύματος,
περιπολεύων ποιεῖς θαυμάσια·
διὸ πάλαι κατέπαυσας,
θανατηφόρον ὁρμήν,
νεμομένην Καστορίαν, ἥτις σου,
εὐγνωμόνως ποιεῖ τὰ μνημόσυνα.

Τρόποις πολλαπλοῖς,
ὁ Κύριος, Ὅσιε, καθοδηγεῖ τοὺς πιστούς,
ἐκζητῶν μετάνοιαν,
εἰς Βασιλείαν Αὐτοῦ εἰσάγουσαν·
διὸ θανάτου θέριστρον,
διδοὺς προγόνοις ἡμῶν,
θεῖον φόβον τούτοις προεξένησεν,
προσφυγοῦσι σεπτῇ μεσιτείᾳ σου.

Ἔχοντες θερμόν,
προστάτην σε, ὅσιε Νικάνορ, κράζομεν·
Καστορίαν φύλαττε,
ἀπὸ κινδύνων ψυχῆς καὶ σώματος,
ἐχθροῦ διώκων θήρατρα,
καὶ ἐγκαινίζων ἡμῖν,

θεῖον φόβον, βίον ἀναμάρτητον,
προξενοῦντα ζωὴν τὴν αἰώνιον.

Ῥῦσαι πειρασμῶν,
τὴν πόλιν σου, Ἅγιε, τὴν σὲ γεραίρουσαν,
καὶ ναὸν περίλαμπρον,
ἀνατιθεῖσαν ὑπομιμνήσκοντα,
θαυματουργὸν ἐπέμβασιν,
δι᾽ ἧς διέσωσας,
ἐκ θανάτου,
τοῦ καταθερίζοντος,
τοὺς προγόνους ἡμῶν, τῇ πρεσβείᾳ σου.

Θεοτοκίον

Ἄκουσον, Ἁγνή,
φωνὴν τῆς δεήσεως Καστοριέων πιστῶν,
καὶ σὺν τῷ Νικάνορι,
Χριστὸν ἀπαύστως καθικετεύετε,
ὅπως ἡμῖν χαρίζηται,
ψυχῶν συμφέροντα,
ἐν ἀγάπῃ καὶ εἰρήνῃ πάντοτε,
καὶ ζωῆς ἀξιώσῃ τῆς κρείττονος.

*Ἐξαποστειλάριον. Ἦχος β΄ Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Ὡς νικητὴν χριστόστεπτον,
διαβόλου τε κόσμου,
καὶ σεαυτοῦ, πανόσιε,
σὲ τιμῶμεν, Νικάνορ·
τοῦ γὰρ Μεταμορφωθέντος,
καθαρώτατος οἶκος,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

γενόμενος ἠξίωσαι,
δωρεᾶς τῶν θαυμάτων,
διὸ καὶ νῦν,
τοὺς τὴν μνήμην πόθῳ σου εὐφημοῦντας,
ἀξίωσον τῆς χάριτος,
πατρικαῖς σου πρεσβείαις.

*Ἕτερον. Ἦχος γ΄. Φῶς ἀναλλοίωτον.*

Ἡ Καστορία, Νικάνορ,
ἐπιτελοῦσα σὴν μνήμην,
εὐγνωμονοῦσα γεραίρει,
ὅτι τὰ νήπια ταύτης,
διέσωσας ἐκ θανάτου,
διὸ προστάτην,
πλουτεῖ σε ἔκτοτε θεῖον.

*καὶ τῆς ἑορτῆς.*

Φῶς ἀναλλοίωτον, Λόγε,
φωτὸς Πατρὸς ἀγεννήτου,
ἐν τῷ φανέντι φωτί σου,
σήμερον ἐν Θαβωρίῳ,
φῶς εἴδομεν τὸν Πατέρα,
φῶς καὶ τὸ Πνεῦμα,
φωταγωγοῦν πᾶσαν κτίσιν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Προσόμοια.*
*Ἦχος πλ.δ΄. Ὢ! τοῦ παραδόξου θαύματος.*

Πάτερ Νικάνορ πανόσιε,
τῶν κοσμικῶν ἡδονῶν,
ἡ ἀχλὺς οὐ κατίσχυσε,
ὀπτικὸν καλῦψαί σου,
τῆς ψυχῆς ἀλλὰ ἥττηται·
ὡς γὰρ ἀσπίδα ἔχων τὸν ἔρωτα,
τοῦ σοῦ Δεσπότου,
σφοδρῶς ἐχώρησας,
πρὸς τὰ παλαίσματα,
τῶν παθῶν τὰ εἴδωλα καταβαλών,
τῇ δοθείσῃ χάριτι,
παρὰ τοῦ Κτίσαντος.

Πάτερ Νικάνορ μακάριε,
ἐν Καλλιστράτῳ ἐλθών,
στρατιώτης πανάριστος,
τοῦ Χριστοῦ γεγένησαι,
ἐνδυσάμενος ἄριστα,
τὴν πανοπλίαν τοῦ θείου Πνεύματος,
καθάπερ Παῦλος,
σαφῶς προέγραψε,
καὶ τοῖς ἱδρῶσί σου,
ἔρημον ἐπότισας κτίτωρ φανείς,
Μάνδρας περιφήμου σου,
ἥτις γεραίρει σε.

Πάτερ Νικάνορ τρισόλβιε,
μαρμαρυγαῖς μυστικαῖς,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τοῦ ἐν ὄρει ἐκλάμψαντος,
Ἰησοῦ ἠξίωσαι,
τῆς Αὐτοῦ θείας Χάριτος.
Διὸ παρέχεις τοῖς προσπελάζουσι,
θήκη λειψάνων,
χαριτοβρύτων σου,
νόσων ἰάματα,
καὶ παθῶν ἀπάλειψιν τῶν δυσμενῶν,
ὡς πιστὸς διάκονος,
τοῦ Φιλανθρώπου Χριστοῦ.

Πάτερ Νικάνορ θεόψυχε,
ὅτε λοιμὸς φοβερός,
Καστορίας ἐθέριζε,
βρέφη ἀπειρόκακα,
ταῖς ἁγίαις πρεσβείαις σου,
τοῦτον διώξας,
χαρᾶς ἐνέπλησας,
τοὺς δεξαμένους,
εὐεργεσίαν σου·
ὅθεν ἀπόγονοι,
τούτων ἡμεῖς σήμερον,
τὴν ἱεράν,
μνήμην σου γεραίρομεν,
εὐγνωμοσύνῃ πολλῇ.

*Δόξα. Ἦχος ὁ αὐτός.*

Τὴν νίκην κατ᾽ ἐχθροῦ γενναίως ἀράμενος,
δοχεῖον τῶν ἀκτίστων δωρεῶν ἀναδέδειξαι,
ὅσιε Πάτερ Νικάνορ.
Καὶ θαυμάτων αὐτουργὸς γενόμενος,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῆς Καστορίας τὰ ἐγγυθάνατα βρέφη διέσωσας,
ἐκδιώξας πόῤῥω τὸν ἀνθρωποφόρον λοιμόν.
Ὅθεν σήμερον τὴν μνήμην ἐπιτελοῦντες,
δεόμεθά σου, φιλότεκνε·
δίωξον καὶ ἡμῶν τὰ δυσαχθῆ πάθη τῶν ψυχῶν,
δωρούμενος τὴν ἐν Χριστῷ σωτηρίαν καὶ τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Τῆς ἑορτῆς, ὁμόηχον.*
*Παρέλαβεν ὁ Χριστός.*

*Δοξολογία μεγάλη*

*Εἰς τὴν Θείαν Λειτουργίαν. Ἀποστολοευάγελον, τὰ ὁσιακά.*
*Κοινωνικόν, Εἰς μνημόσυνον αἰώνιον.*

*Μεγαλυνάριον*

Χαίροις, ὦ Νικάνορ θαυματουργέ,
τῆς Μονῆς Ζαβόρδης,
ὁ δομήτωρ καὶ ὁδηγός,
τῆς δὲ Καστορίας,
ὁ θεῖος πολιοῦχος,
ὡς βρέφη διασώσας,
ταύτης πρεσβείαις σου.

*Στίχοι ἱκετικοί*

*Βρέφη Καστορίας διασώσας πάλαι,*
*Σῶσον καὶ ἡμᾶς νῦν, πάτερ Νικάνορ.*

*Νίκας χάρισαι Σεραφεὶμ ἐπισκόπῳ,*
*Τιμῶντι, Νικάνορ σου, πιστῶς τὴν χάριν.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ